22 Ἐγένετο δὲ ἡνίκα κατῴκησεν Ισραηλ ἐν τῇ γῇ ἐκείνῃ, ἐπορεύθη 22
Ρουβην καὶ ἐκοιμήθη μετὰ Βαλλας τῆς παλλακῆς τοῦ πατρὸς αὐτοῦ·
καὶ ἤκουσεν Ισραηλ, καὶ πονηρὸν ἐφάνη ἐναντίον αὐτοῦ.
Ἦσαν δὲ οἱ υἱοὶ Ιακωβ δώδεκα. 23 υἱοὶ Λειας· πρωτότοκος Ιακωβ 23
Ρουβην, Συμεων, Λευι, Ιουδας, Ισσαχαρ, Ζαβουλων. 24 υἱοὶ δὲ Ραχηλ· 24
Ιωσηφ καὶ Βενιαμιν. 25 υἱοὶ δὲ Βαλλας παιδίσκης Ραχηλ· Δαν καὶ 25
Νεφθαλι. 26 υἱοὶ δὲ Ζελφας παιδίσκης Λειας· Γαδ καὶ Ασηρ. οὗτοι 26
υἱοὶ Ιακωβ, οἳ ἐγένοντο αὐτῷ ἐν Μεσοποταμίᾳ τῆς Συρίας.
27 Ἦλθεν δὲ Ιακωβ πρὸς Ισαακ τὸν πατέρα αὐτοῦ εἰς Μαμβρη 27
εἰς πόλιν τοῦ πεδίου (αὕτη ἐστὶν Χεβρων) ἐν γῇ Χανααν, οὗ παρῴ-
κησεν Αβρααμ καὶ Ισαακ. 28 ἐγένοντο δὲ αἱ ἡμέραι Ισαακ, ἃς ἔζη- 28
σεν, ἔτη ἑκατὸν ὀγδοήκοντα· 29 καὶ ἐκλιπὼν ἀπέθανεν καὶ προσε- 29
τέθη πρὸς τὸ γένος αὐτοῦ πρεσβύτερος καὶ πλήρης ἡμερῶν, καὶ
ἔθαψαν αὐτὸν Ησαυ καὶ Ιακωβ οἱ υἱοὶ αὐτοῦ.
1 Αὗται δὲ αἱ γενέσεις Ησαυ (αὐτός ἐστιν Εδωμ)· 2 Ησαυ δὲ ἔλα- 36
βεν γυναῖκας ἑαυτῷ ἀπὸ τῶν θυγατέρων τῶν Χαναναίων, τὴν Αδα
θυγατέρα Αιλων τοῦ Χετταίου καὶ τὴν Ελιβεμα θυγατέρα Ανα τοῦ
υἱοῦ Σεβεγων τοῦ Ευαίου 3 καὶ τὴν Βασεμμαθ θυγατέρα Ισμαηλ 3
ἀδελφὴν Ναβαιωθ. 4 ἔτεκεν δὲ Αδα τῷ Ησαυ τὸν Ελιφας, καὶ Βα- 4
σεμμαθ ἔτεκεν τὸν Ραγουηλ, 5 καὶ Ελιβεμα ἔτεκεν τὸν Ιεους καὶ 5
τὸν Ιεγλομ καὶ τὸν Κορε· οὗτοι υἱοὶ Ησαυ, οἳ ἐγένοντο αὐτῷ ἐν
γῇ Χανααν. 6 ἔλαβεν δὲ Ησαυ τὰς γυναῖκας αὐτοῦ καὶ τοὺς υἱοὺς 6
καὶ τὰς θυγατέρας καὶ πάντα τὰ σώματα τοῦ οἴκου αὐτοῦ καὶ
πάντα τὰ ὑπάρχοντα καὶ πάντα τὰ κτήνη καὶ πάντα, ὅσα ἐκτή-
σατο καὶ ὅσα περιεποιήσατο ἐν γῇ Χανααν, καὶ ἐπορεύθη ἐκ γῆς
Χανααν ἀπὸ προσώπου Ιακωβ τοῦ ἀδελφοῦ αὐτοῦ· 7 ἦν γὰρ αὐ- 7
τῶν τὰ ὑπάρχοντα πολλὰ τοῦ οἰκεῖν ἅμα, καὶ οὐκ ἐδύνατο ἡ γῆ
τῆς παροικήσεως αὐτῶν φέρειν αὐτοὺς ἀπὸ τοῦ πλήθους τῶν
ὑπαρχόντων αὐτῶν. 8 ᾤκησεν δὲ Ησαυ ἐν τῷ ὄρει Σηιρ (Ησαυ 8
αὐτός ἐστιν Εδωμ).
9 Αὗται δὲ αἱ γενέσεις Ησαυ πατρὸς Εδωμ ἐν τῷ ὄρει Σηιρ, 9
10 καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Ησαυ· Ελιφας υἱὸς Αδας γυναικὸς 10
Ησαυ καὶ Ραγουηλ υἱὸς Βασεμμαθ γυναικὸς Ησαυ. 11 ἐγένοντο δὲ 11
υἱοὶ Ελιφας· Θαιμαν, Ωμαρ, Σωφαρ, Γοθομ καὶ Κενεζ· 12 Θαμνα δὲ 12
ἦν παλλακὴ Ελιφας τοῦ υἱοῦ Ησαυ καὶ ἔτεκεν τῷ Ελιφας τὸν
Αμαληκ· οὗτοι υἱοὶ Αδας γυναικὸς Ησαυ. 13 οὗτοι δὲ υἱοὶ Ραγουηλ· 13
Ναχοθ, Ζαρε, Σομε καὶ Μοζε· οὗτοι ἦσαν υἱοὶ Βασεμμαθ γυναικὸς

23 λευι mu.] λευεις A || 25 νεφθαλι pau.] -λειμ A || 26 υιοι $2^{0}$ mu.] pr. οι A
36 2 αιλων compl.] ελωμ A | ελιβεμα: sic A in 14. 18 ($2^{0}$). 41, sed A in 2.
5. 18 ($1^{0}$). 25 ολιβεμα || 6 παντα $3^{0}$ D] > A || 10 αδας D] αδα A: item
in 12 || 11 υιοι] pr. οι A | ωμαν A (sed in 15 A ωμαρ) || 12 υιοι] pr. οι A†
|| 13 ναχομ A† (sed in 17 A ναχοθ) | μασεμμαθ A: item in 17 (sed in 3 A βασ.)